A Τελέου. Πει. τί βούλει δῆτα, τὸν μισθὸν λαβὼν,
Μὴ πράγματ' ἔχειν, ἀλλ' ἀπιέναι; Επι. νὴ τοὺς θεούς.
Εκκλησιάσαι δ' οὖν ἐδεόμην οἴκοι μένων.
Εστι γὰρ δι' ἐμοῦ πέπρακται Φαρνάκῃ.
Πισ. Απιθι λαβών· ἔστι δ' ὁ μισθὸς οὑτοσί.
Επι. Τουτὶ τί ἦν; Πισ. ἐκκλησία περὶ Φαρνάκου.
B Επι. Μαρτύρομαι τυπτόμενος ὢν ἐπίσκοπος.
Πισ. Οὐκ ἀποσοβήσεις, οὐκ ἀποίσεις τὼ κάδω.
Οὐ δεινά; καὶ πέμπουσιν ἤδη ἐπισκόπους
Εἰς τὴν πόλιν, πρὶν καὶ τεθύσθαι τοῖς θεοῖς.

*Tributi.* Pi. *Quid vis igitur mercedem capiens*
*Non molestias habere, sed abire?* Exp. *per deos.*
*Concionari autem igitur indigebam domi manens,*
*Sunt enim quæ per me facta sunt Pharnacæ.*
Pi. *Abi capiens, est autem merces hæc.*
Exp. *Hoc quid sit?* Pi. *Cōciliū circa Pharnacē.*
Exp. *Testificor verberatus existens explorator.*
Pi. *Non expellens non auferes cados.*
*Non grauia? & mittunt iam exploratores*
*In ciuitatem ante & sacrificare deis?*

Σχόλια. Φαρνάκῃ.] στρατηγὸς Περσῶν ὁ Φαρνάκης Φαρναβάζου. ἀλαζονικῶς οὖν σκώπτεται κοινωνίαν ἔχειν μετ' ἐκείνου. Τὼ κάδω] τοὺς κάδους τοὺς ἀμφορεικοὺς εἰς οὓς τὰς ψήφους καθίασιν.

C Bisetus. Τὸ βυβλίον] τινὲς τὸ μὲν βυβλίον λέγουσιν τὸ χάρτην ἄγραφον. τὸ δὲ βιβλίον διὰ τοῦ ι χάρτην ἔγγραφον. ἡ δὲ βύβλος, πάπυρος καλεῖται. ἀλλὰ ταύτην τὴν διαφορὰν οὐκ ἀεὶ φυλάττομεν. ἑκάτερον γὰρ θάτερον ἀντὶ θατέρου πολλάκις λαμβάνομεν.

## ΨΗΦΙΣΜΑΤΟΓΡΑΦΟΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ, ΕΠΙΣΚΟΠΟΣ, ΙΕΡΕΥΣ.

## Legislator, Pistheterus, Explorator, Sacerdos.

Bisetus. Θεσμοθέτης τις προσέρχεται, ἀλλὰ πολλῶν ἀμφοτέρωθεν λεχθέντων τέλος ἅπαντες ἐκ τῆς σκηνῆς ἀπέρχονται. ἀλλ' Ἱερεὺς τὸν Πισθέταιρον καὶ τοὺς λοιποὺς φίλους τοῖς θεοῖς εἴσω θύοντας ἀπιέναι κελεύει.

D Ψη. Εαν δ' ὁ Νεφελοκοκκυγιεὺς τὸν Αθηναῖον ἀδικῇ.
Πισ. Τουτὶ τί ἐστιν αὖ κακὸν τὸ βυβλίον.
Ψη. Ψηφισματοπώλης εἰμὶ, καὶ νόμους νέους
Ηκω παρ' ὑμᾶς δεῦρο πωλήσων. Πισ. τὸ τί;
Ψη. Χρῆσθαι Νεφελοκοκκυγίας τοῖσδε τοῖς
Μέτροισι, καὶ σταθμοῖσι, καὶ ψηφίσμασι.
Καθάπερ Ολοφύξιοι,
Πισ. Σὺ δέ γ' οἷσπερ ὀτοτύξιοι χρήσῃ τάχα.
E Ψη. Οὗτος τί πάσχεις; Πισ. οὐκ ἀποίσεις τοὺς νόμους;
Πικροὺς ἐγώ σοι τήμερον δείξω νόμους.
Επι. Καλοῦμαι Πισθέταιρον ὕβρεως,
Ες τὸν Μουνυχιῶνα μῆνα.
Πισ. Αληθες οὗτος. ἔτι γὰρ ἐνταῦθ' ἦσθα σύ;
Ψη. Εαν δέ τις ἐξελαύνῃ τοὺς ἄρχοντας,
Καὶ μὴ δέχηται κατὰ τὴν στήλην.
Πισ. Οἴμοι κακοδαίμων, καὶ σὺ γὰρ ἐνταῦθ' ἦσθ' ἔτι;
Επι. Απολῶ σε, καὶ γράφω σε μυρίας δραχμάς.
F Πισ. Εγὼ δέ σου γε τὼ κάδω διασκεδῶ.
Επι. Μέμνησ' ὅτε τῆς στήλης κατετίλας ἑσπέρας;
Πισ. Αἰβοῖ λαβέτω τις αὐτόν. οὗτος οὐ μενεῖς;
Ιερ. Απίωμεν ἡμεῖς ὡς τάχιστ' ἐντευθενὶ
Θύσοντες εἴσω τοῖσι θεοῖσι τὸν τράγον.

Leg. *Si autem nephelococcygieus Athenaeū iniustitia afficit.*
Pi. *Hoc quid est rursus malus liber?*
*Leg. Psephismatopola sum, & leges nouas,*
*Venio ad vos huc venditurus.* Pi. *Hoc quid?*
*Leg. Vti nephelococcygeos his*
*Metris & stateris & decretis,*
*Quemadmodum Olophyxij.*
Pi. *Tu autem quibus ototyxij vteris citò.*
*Leg. Hic quid pateris?* Pi. *non auferes leges*
*Amaras? ego tibi hodie ostendam leges.*
*Exp. Accuso Pisthetærum iniuriæ*
*In Ianuarium mensem.*
*Pi. Verè hic, adhuc enim hic es tu?*
*Leg. Si autem aliquis expellet principes,*
*Et non suscipit secundum legem?*
Pi. *Hei infelix, & tu enim hic es adhuc?*
*Exp. Perdā te, & accuso te mille drachmarum.*
Pi. *Ego autem tuos cados dispergam.*
*Exp. Recordare quando legem eculsisti vespere.*
Pi. *Papæ, capiat aliquis ipsum, hic nō manebis?*
*Sac. Abeamus nos quàm citissimè hinc,*
*Sacrificaturi intus deis tragum.*

Σχόλια. Οτοτύξιοι] ἀπὸ τοῦ ὀτοτύζειν ἐσχημάτισεν. Καλοῦμαι] γράφομαι εἰς τὸ δικαστήριον καλῶ. Ες τὸν Μουνιχιῶνα.] ἐς τὸν Μαιμακτηριῶνα γὰρ εἰσὶν αἱ κλήσεις. G Κατὰ τὴν στήλην] κατὰ τὴν δημοσίαν ἀναγραφήν. Διασκεδῶ] ἀποπατήσας ἀπαλλάττεται τοῦ συκοφάντου.

Bisetus. Διασκεδῶ] διασκεδάσω. διαρρύψω. διαρρήξω. κατετίλας δὲ κατὰ δῆλον συγκοπὴν εἴρηται, ἀντὶ τοῦ κατατετίληκας. ἢ καὶ καθ' ἁπλῶν ἐκ παρακειμένου μέσου κατατέτιλας, κατέτιλας. καὶ γὰρ ὁ μ. π. ἐκ τοῦ ἐνεργητικοῦ κατὰ συγκοπὴν σχηματίζεται ἐν πλείοσι τῶν ῥημάτων, οἷον βεβόληκα παρὰ τὸ βολεῖν, τὸ βάλλειν, βέβολα. ἔτι ἐκ τοῦ μεμέληκε, μέμηλε. τὸ δὲ κατατιλᾶν ἐν τοῖς ἄνω ἑρμηνευθὲν οἴδαμεν.

Σχόλια. Θύσοντες εἴσω] σιωπᾶται ποιεῖν εἴσω τὴν θυσίαν. ἵνα μὴ σφάξῃ τὸ πρόβατον.